www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν Παρακλητικὸς εἰς τὸν Ἅγιον Συμεὼν τὸν Θαυμαστορείτην

Ἦχος πλ.δ'

Ἅγιον Ὅρος

2018

www.tezaurliturgic.ro



# Κανὼν Παρακλητικὸς εἰς τὸν Ἅγιον Συμεῶν τὸν Θαυμαστορείτην. Ἦχος πλ.δ'

*Ὠιδὴ Α' Ὑγρὰν διοδεύσας.*

Ἀπάρας θεόφρον τῶν γεηρῶν, μετετέθης ὅλος, πρὸς τὰ ἄνω Πάτερ διό, ἀκένωτον ὤφθης τῶν σωμάτων, καὶ τῶν ψυχῶν ἰατρεῖον θεσπέσιε.

Βαρούμενον φόρτον ἁμαρτιῶν, τῆς αἰσχύνης Πάτερ, ἀξιΰμνητε Συμεών, ταῖς σαῖς ἀενν́αοις ἱκεσίαις, πρὸς τὸν Δεσπότην ἀνακούφισον.

Γενοῦ μοι πανόσιε Συμεών, ταχὺς ἀντιλήπτωρ, τρικυμίαις τῶν πειρασμῶν, περιπεπτωκότι καὶ ὀξεία, τῶν ἀλγηδόνων τοῦ σώματος ἴασις.

*Θεοτοκίον.*

Ἱλέῳ σου ὄμματι ἐπ' ἐμοί, ἔπιδε Παρθένε, καὶ ἀπότρεψον ἀπ' ἐμοῦ, παμβέβηλον ἔθος ὅπως χαίρων, ὑμνολογῶ τὴν δυναστείαν σου.

*Ὠιδὴ Γ' Σὺ εἶ τὸ στερέωμα.*

Δέδεμαι τοῖς ἄρκυσι, τῆς ἁμαρτίας ὁ δείλαιος, διὸ πρὸς σέ, Συμεὼν προσφεύγω, τοῦ εὑρεῖν λύσιν ὅσιε.

Ἔχων τὸν ἀκένωτον, τὸν θησαυρὸν τῶν ἰάσεων, Πάτερ κἀμοί, ἴασιν παράσχου, τῷ νοσοῦντι ἀνίατα.

Ζάλῃ συνεχόμενον, τῶν πειρασμῶν καὶ τῶν θλίψεων, ταύτης ταχύ, ἐλευθέρωσόν με, Συμεὼν Πάτερ ὅσιε.

*Θεοτοκίον.*

Λοῦσόν με Πανάχραντε, τῶν ὀφθαλμῶν μου τοῖς ῥεύμασι, ὅπως πυρός, φύγω τῆς γεέννης, ὁ ἀχρεῖος ἱκέτης σου.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ἡ κακίστη πανόσιε, Συμεὼν συνήθειά με καθέλκουσα, εἰς ἀπώλειαν τὸν ἄθλιον, ταύτην ταῖς εὐχαῖς σου ἀναχαίτισον.

Θεραπείας ἀξίωσον, νόσων τῆς ψυχῆς μου καὶ τῶν τοῦ σώματος, θεοφόρε τὸν προσπίπτοντα, καὶ θερμῇ τῇ πίστει σοῦ δεόμενον.

Ἰατρὸν ἑτοιμότατον, ἄμισθον ὁ κόσμος πλουτῶν σε ὅσιε, Συμεὼν κἀμοὶ τὴν ἴασιν, ταλαιπωρουμένῳ τάχει χάρισαι.

Θεοτοκίον.

Ἀπεγνώσθην Πανάχραντε, τῶν κακῶν ὁ τάλας μὴ ἀφιστάμενος, σοὶ προσπίπτω μετὰ πίστεως, σῶσόν με ὡς οἶδας ἀπολλύμενον.

Ὠιδὴ Ε' Φώτισον ἡμᾶς.

Κόπασον παθῶν, καταιγίδος τὸ κλυδώνιον, τῷ δραστικῷ ἐλαίῳ σῶν προσευχῶν, ὅσιε ὡς ὢν, βρύσις θαυμάτων ἀένναος.

Λήξεως τυχεῖν, πανσεβάσμιε ἱκέτευε, τῶν ἀθεμίτων ἔργων μου Συμεών, Χριστὸν ὡς δοῦλος αὐτοῦ γνησιώτατος.

Μίσησον ψυχή, ματαιότητος πᾶν ὕψωμα, τὰς θεοδέκτους ἔχουσα προσευχάς, καὶ συνεργούσας, ὁσίου Συμεὼν τοῦ τρισμάκαρος.

Θεοτοκίον.

Ῥέπων ἐσαεί, τοῖς κρημνώδεσι ὁ δύστηνος, τῆς ἁμαρτίας τόποις τῇ σῇ χειρί, Παρθενομῆτορ ἀνάστειλον, φοράν μου τὴν ἄτακτον.

Ὠιδὴ ΣΤ' Τὴν δέησιν ἐκχεῶ.

Νενέκρωμαι ἁμαρτίας βέλεσι, καὶ ἀναίσθητον κατάκειμαι πτῶμα, ὁ τοῦ Χριστοῦ


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῇ δυνάμει ζωώσας, πλείστους νεκροὺς Συμεὼν κἀμὲ ζώωσον, ἵνα ἀπαύστως σοὶ βοῶ, τῶν θαυμάτων τὸ ἄμετρον πέλαγος.

Ξενίζουσι πάντα νοῦν τρισόλβιε, τῶν θαυμάτων σου τὰ πλήθη ὡς ὄντως, καὶ γὰρ πηγὴ ὥσπερ ἄλλη ἐδείχθης, τοῦ Σιλωάμ, ἡ σὴ μάνδρα ἰάσεων, κἀγὼ ἀνίατα νοσῶν, σοὶ προσφεύγω τυχεῖν τῆς ἰάσεως.

Οὐκ ἔστι μοι ἐπιθεῖναι μάλαγμα, ὁλοσώματον πληγὴν περιφέρων, καὶ τὴν ψυχήν, ἀεννάως νοσοῦσαν, καὶ ἀπογνώσεως βόθροις ἐμπίπτουσαν, σοὶ τῷ γνησίῳ τοῦ Χριστοῦ καταφεύγω θεράποντι σῶσόν με.

*Θεοτοκίον.*

Ἱκέτου σου τὴν φωνὴν ἐπάκουσον καὶ τῇ θλίψει μου Πανάχραντε πρόσχες, καὶ τῶν παθῶν μου τὴν φλόγα τῇ δρόσῳ, τῆς χάριτός σου Παρθένε κατάσβεσον, ἡ ἀνωδύνως Λυτρωτήν, καὶ Σωτῆρα τῷ κόσμῳ κυήσασα.

*Ὠιδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Πόρρω τοῦ πλαστουργοῦ μου ὑπάρχων, τοῖς ἐχθροῖς μου ἀνοήτως ἐδουλώθην, Συμεὼν μιμητὰ τοῦ σοῦ Δεσπότου ῥῦσαι, τῆς τούτων τυραννίδος με ἵν' ἀπαύστως εὐλογῶ σε.

Ῥῶσιν παράσχου τῷ σῷ δούλῳ, τῷ θερμῶς σε ἱκετεύοντι τρισμάκαρ, ὅπως τῆς

παθῶν ἐκφύγοιμι δουλείας, τῆς ἀπεχθοῦς καὶ ἅψωμαι, μεταγνώσεως τὴν τρίβον.

Στύλῳ οἰκήσας θεοφόρε, ὥς τις ἄσαρκος διήνυσας τὸν βίον, καὶ ἐν ὕλῃ σοφέ, ἄγγελος ὤφθης Πάτερ, ἀρχέτυπον γενόμενος, Συμεὼν τοῖς σὲ συνοῦσι.

*Θεοτοκίον.*

Ὥρα ἐφέστηκε ψυχή μου, μεταθέσεως τῆς σῆς διόπερ σπεῦσον, τῇ Μητρὶ τοῦ Θεοῦ, τῇ μόνῃ προσφυγῇ σου, αὐτῆς τῆς ἐπισκέψεως, τοῦ τυχεῖν σε παναθλία.

*Ὠιδὴ Η΄ Τὸν βασιλέα.*

Τῶν διοχλούντων ἀπαύστως με ἀοράτων πανεχθίστων δαιμόνων τὰς τάξεις, εἰς κενὸν θεόφρον, τῇ χάριτί σου τρέψον.

Ὑπὲρ τοῦ πίστει αἰτοῦντός σοι θεοφόρε, ἀπαλλαγὴν πειρασμῶν ὑπερεύχου, ὅπως ἀνυμνῶ σε ὡς ῥύστην μου ἀπαύστως.

Φιλαργυρίας με φεύγειν τρόπους παράσχου, καὶ Χριστοῦ Συμεών, τὴν πτωχείαν ἐσαεὶ ἀντέχειν, τὴν σωτειράν μου δίδου.

*Θεοτοκίον.*

Νυκτὸς ἐξ ἔργων με Κόρη ἀεὶ ἐκφεύγειν καὶ Χριστῷ τῷ Υἱῷ σου Παρθένε, σύνταξόν με ὅπως, ὑμνῶ σε εἰς αἰῶνας.

*Ὠιδὴ Θ' Κυρίως Θεοτόκον.*

Χρανθέντα με ἀτόποις, ἡδοναῖς σοι Πάτερ, νῦν καταφεύγοντα σθένωσον διαφυγεῖν, τούτων μακάριε ταῖς ἱκεσίαις σου.

Ψυχῶν σε καὶ σωμάτων, ἰατρὸν γινώσκω, νενοσηκότα κατ' ἄμφω με ἐπιτυχεῖν, Συμεὼν δέομαι σῆς ἀντιλήψεως.

Ὢ Πάτερ Λόγε Πνεῦμα, Τριὰς Παναγία, Θεὲ Πατέρων, εὐχαῖς με τοῦ θεοφόρου Πατρός, σῶσον ὡς μόνος ὢν πολυέλεος.

*Θεοτοκίον.*

Μαρία Θεοτόκε, τοῖς τῷδε τῷ Ὄρει, τοῦ Ἄθωνος ἐνοικοῦσι ὡς οὖσα Ἁγνή, προστάτις δίδου πταισμάτων συγχώρησιν.

*Προσόμοια.*

*Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ'.*

Πάτερ Συμεὼν μακάριε, σὺ ἐκ παιδὸς τῷ Χριστῷ ἠκολούθησας ὅσιε, καὶ ἀσκήσει ἔλαμψας, καὶ πρὸς λῆξιν οὐράνιον, ἔφθασας ὅπου Ἀγγέλων σύσκηνος, καὶ τῶν ἁγίων

ἁπάντων γέγονας, διὸ πανθαύμαστε, τοῦ ἐλέους αἴτησαι τῷ χορηγῷ, τοὺς ὑμνολογοῦντάς σε, τυχεῖν ἐλέους αὐτοῦ.

Στύλῳ μετεώρως ὅσιε, διαβιώσας κρυμμοῖς, καὶ ἀνέμοις ὡμίλησας, ὥσπερ τις ἀσώματος, τοὺς ἀσάρκους κατέτρωσας, τῶν προσευχῶν σου Πάτερ τοῖς βέλεσι, καὶ τούτων ἄρδην, φάλαγγας ἔτρεψας, διὸ καὶ νῦν ἡμᾶς, ἐξελοῦ ἐκ τούτων τῆς ἐπιβουλῆς, ὡς θεράπων γνήσιος, Χριστοῦ τοῦ πάντων Θεοῦ.

Ἤγγισε τὸ τέλος τάλαινα, τοῦ χωρισμοῦ σου ψυχή, ἐκ τοῦ σώματος ὅθεν σοι, καὶ λοιπὸν ἐκδέχεται, σὲ τὸ πῦρ τὸ αἰώνιον, ἀνθ’ ὧνπερ τῷδε τῷ βίῳ ἔπραξας, καὶ μετανοίας ὅλως ἠγνόησας, τάχιον πρόσδραμε, καὶ ἐμπόνως βόησον, Πάτερ τὴν σήν, πέμψον μοι βοήθειαν, Συμεὼν ὅσιε.

Σύ μοι Προστασία ἄμαχος, σύ μοι πεινῶντι τροφή, καὶ στολὴ γυμνητεύοντι, ἐν δεινοῖς παράκλησις, ἐν ταῖς νόσοις μου ἴασις, σὺ τῶν παθῶν μου ἡ ἀνακούφισις, τούτων τελεία καὶ ἐξαφάνισις, καὶ τῶν πταισμάτων μου, τῶν ἀμέτρων Δέσποινα πρὸς τὸν Θεόν, συγγνώμη καὶ ἄφεσις, καὶ σωτηρία μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ